UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Academia Peccatorvm. Seu Conciones De Tota Parabola Prodigi Euangelici

Quae Insolentia Peccatorvm Sev De Lvxv et Libidinibus Prodigi

**Bosquier, Philippe**

**Moguntiae ; Coloniae, 1614**

To Kata Aoykan Ation ΕΥΑΝΓΕΛΙΟΝ.

**Nutzungsbedingungen**

urn:nbn:de:hbz:466:1-55916

Visual Library

# ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ.

11 εἶπε δέ, ἄνθρωπός τις εἶχε δύο υἱούς. 1.
12 καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί, πάτερ, δός μοι 2.
τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. καὶ διεῖλεν αὐτοῖς τὸν βίον.
13 καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα 3.
ὁ νεώτερος υἱός, ἀπεδήμησεν εἰς χώραν μακράν, καὶ
ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως.
14 δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰ- 4.
σχυρὸς κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο
ὑστερεῖσθαι.
15 καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκ- 5.
είνης· καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν
χοίρους.
16 καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κε- 6.
ρατίων ὧν ἤσθιον οἱ χοῖροι. καὶ οὐδεὶς ἐδίδου αὐτῷ.
17 εἰς ἑαυτὸν δὲ ἐλθών, εἶπε, πόσοι μίσθιοι τοῦ πατρός 7.
μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι·
18 ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐ- 8.
τῷ, πάτερ, ἥμαρτον εἰς τὸν οὐρανόν, καὶ ἐνώπιόν σου.
19 καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με 9.
ὡς ἕνα τῶν μισθίων σου.
20 καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ, ἔτι δὲ αὐτοῦ 10.
μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐ-
σπλαγχνίσθη· καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον
αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν.
21 εἶπε δὲ αὐτῷ ὁ υἱός, πάτερ, ἥμαρτον εἰς τὸν οὐρανόν, 11.
καὶ ἐνώπιόν σου. καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.
22 εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ, ἐξενέγκα- 12.
τε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτόν, καὶ δότε
δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς
πόδας.

13. 23 ϗ ἐνεγκάντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε,
ϗ φαγόντες εὐφρανθῶμεν.
14. 24 ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, ϗ ἀνέζησε· ϗ ἀ-
πολωλὼς ἦν ϗ εὑρέθη· ϗ ἤρξαντο εὐφραίνεσθαι.
15. 25 ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ ϗ ὡς
ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ
χορῶν.
16. 26 ϗ προσκαλεσάμενος ἕνα τῶν παίδων, ἐπυνθά-
νετο τί εἴη ταῦτα.
17. 27 ὁ δὲ εἶπεν αὐτῷ, ὅτι ὁ ἀδελφός σου ἥκει. ϗ ἔθυσεν
ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτόν· ὅτι ὑγιαίνον-
τα αὐτὸν ἀπέλαβεν.
18. 28 ὠργίσθη δὲ, ϗ οὐκ ἤθελεν εἰσελθεῖν. ὁ οὖν πατὴρ
αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν.
19. 29 ὁ δὲ ἀποκριθεὶς τῷ πατρί· ἰδοὺ τοσαῦτα ἔτη δου-
λεύω σοι, ϗ οὐδέποτε ἐντολήν σου παρῆλθον. ϗ ἐμοὶ
οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐ-
φρανθῶ.
30 ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ καταφαγών σου τὸν βί-
20. ον μετὰ πορνῶν, ἦλθεν, ἐθύσας αὐτῷ τὸν μόσχον
τὸν σιτευτόν.
21. 31 ὁ δὲ εἶπεν αὐτῷ, τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ,
ϗ πάντα τὰ ἐμὰ σά ἐστιν·
22. 32 εὐφρανθῆναι δὲ ϗ χαρῆναι ἔδει· ὅτι ὁ ἀδελφός σου
οὗτος νεκρὸς ἦν, ϗ ἀνέζησε· ϗ ἀπολωλὼς ἦν, ϗ εὑ-
ρέθη.